eul_wid: jqu-ab

*Παγκράτης Ἀρκάς* · Pancrates of Arcadia

## Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric) (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 117.1.1 Ἐκ πυρὸς ὁ ῥαιστὴρ καὶ ὁ καρκίνος ἥ τε πυράγρη
book 117.1.2 ἄγκειντ' Ἡφαίστῳ δῶρα Πολυκράτεος,
book 117.1.3 ᾧ πυκνὸν κροτέων ὑπὲρ ἄκμονος εὕρετο παισὶν
book 117.1.4 ὄλβον, ὀιζυρὴν ὠσάμενος πενίην.
book 356.1.1 Κλειοῦς αἱ δύο παῖδες, Ἀριστοδίκη καὶ Ἀμεινώ,
book 356.1.2 Κρῆσσαι, πότνια σῆς Ἄρτεμι νειοκόρου
book 356.1.3 τετραετεῖς ἀπὸ μητρός· ἴδοις, ὤνασσα, τὰ τῆσδε
book 356.1.4 εὔτεκνα κἀντὶ μιῆς θὲς δύο νειοκόρους.
book 653.1.1 Ὤλεσεν Αἰγαίου διὰ κύματος ἄγριος ἀρθεὶς
book 653.1.2 Λὶψ Ἐπιηρείδην Ὑάσι δυομέναις
book 653.1.3 αὐτὸν ἐῇ σὺν νηὶ καὶ ἀνδράσιν· ᾧ τόδε σῆμα
book 653 δακρύσας κενεὸν παιδὶ πατὴρ ἔκαμεν.